UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Lampetio Episcopo. 206.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

οὔτε γηράσας διὰ τὴν ἡλικίαν. εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, εἶργε σαυτὸν τοῦ σεπτοῦ θυσιαστηρίου.

### Λαμπετίῳ ἐπισκόπῳ. σϛ.

Οἱ μηδὲν εἰς ὠφέλειαν βλέποντες, ἡσυχάζεσθαι δικαιοῦντες, οὐ τὸ μέγεθος τῶν κατορθουμένων, ὡς ἀφωνίας αἴτιον προβάλλονται, ἀλλ' ἐγκωμιάζειν ἐπιχειροῦσι τὴν ἀλήθειαν, πρὸς ἣν καὶ οἱ δεινότατοι λέγειν ἀποδύσασθαι ὀκνοῦσιν. εἰ γὰρ καὶ μὴ ἐπαξίως, ἀλλά γε ἀποχρεώντως τὰ καλὰ ἐπαινέσαντες, τεκμήριον τῆς ἑαυτῶν γνώμης τῆς ἐπὶ τὰ ἀξιαφήγητα ῥεπούσης, καὶ τοῖς μετὰ ταῦτα ἀνθρώποις ἐγκαταλείπουσι.

### Παύλῳ. σζ.

Ἐκεῖνος, ὡς ἔγωγε οἶμαι, δικαιότατός ἐστι τῶν ἀμφισβητουμένων κριτὴς, ὁ μὴ τὰ μέγιστα ἀξιώματα ἐκπληττόμενος, ἀλλὰ τοῖς ἀσθενεστέροις τὸ ἐνδέον ἐξ εὐνομίας χορηγῶν, καὶ νέμων ἐν ταῖς τιμαῖς ἑκάστῳ τὸ πρὸς ἀξίαν, ἐν ταῖς διαγνώσεσι φυλάττει τὸ ἴσον ἅπασι, τῷ δικαίῳ πανταχοῦ μέτρῳ χρώμενος.

### Ἑρμογένει ἐπισκόπῳ. ση.

Εἰ μὲν ἔχοιεν ἡμῖν τῆς ἱερωσύνης ἀριστείαν ἐστεμμένοι χρησμὸν ἀναγνῶσκειν, ὡς οὐ χρὴ πονεῖν αὐτοὺς καὶ τὰς ἀρετὰς ἀσκεῖν, ἀλλὰ λόγῳ διδάσκειν μόνῳ, φρονείτωσαν ὡς φρονοῦσιν. οἱ δὲ πανταχοῦ οἱ χρησμοὶ ἀνακηρύττουσι μὲν τοὺς φιλαρέτους αὐτῶν, ἀποκηρύττουσι δὲ τοὺς λόγῳ μόνον παιδεύειν ἐπιχειροῦντας. τί παρέντες τὰ διὰ τῶν θείων θεσμῶν διηγορευμένα τῇ ἱερωσύνῃ μόνῃ ὥσπερ τυραννίδι ἐναβρύνονται. τὰ μὲν γὰρ θεῖα θεσπίσματα, τοὺς τὴν ἱερωσύνην λαχόντας

nibus ob paupertatem tenebas, nec posteaquam cõsenuisti, ob ætatem. Quapropter, si ita est, à venerando altari teipsum arce.

### *Lampetio Episcopo.* 206.

Qui dum conіectos in vtilitatem oculos habent, nihil tacendum esse putant, nõ rerum præclarè gestarum magnitudinem, vt silentij causam obtendunt: sed veritatẽ, ad cuius laudes prædicandas, ne disertissimi quoque homines se accingere verentur, commendare ac laudibus afficere nituntur. Egregiis enim rebus, si non dignè, at saltem quantum satis est, laudatis, animi sui ad ea, quæ commemoratione digna sunt, propendentis argumentum atque coniecturam iis quoque qui post futuri sunt, relinquunt.

### *Paulo.* 207.

Ille, mea quidem sententia, iustissimus controuersiarum iudex est, non qui homines amplissimis dignitatibus ornatos pertimescit, verùm qui imbecillioribus, id quo carent, pro eo atque æquitas postulat, subministrat: atque in honoribus id cuique, quo dignus est, tribuens, omnibus quod æquum est, in causarum disceptatione tribuit, ius videlicet vbique mensuræ loco adhibens.

### *Hermogeni Episcopo.* 208.

Si ij, qui sacrosancta Sacerdotij dignitate redimiti sunt, oraculum aliquod nobis recitare queant, quo illud sanciatur, eos minimè laborare ac virtutem colere, verùm sermone solo docere oportere, sentiant sanè vt sentiunt. Sin autem diuina oracula passim Antistites eos prædicãt, qui virtutum amore flagrant: contráque eos, qui sermone solo alios erudire conantur, explodunt, ecquid isti, prætermissis iis rebus, quæ diuinis legibus præscriptæ sunt, Sacerdotio solo, tanquam tyrannide, gloriatur? Etenim diuina scita, eos potissimùm